## Μένδη. Μενδαῖος οἶνος.

### Κεράμιον.

1ο. Συγγραφή. Δημοσθ. Πρὸς Λάκριτον XXXV σ. 419.

Ἐδάνεισαν Ἀνδροκλῆς Σφήττιος καὶ Ναυσικράτης
Καρύστιος Ἀρτέμωνι καὶ Ἀπολλοδώρῳ Φασηλίταις δραχ-
μὰς ἀργυρίου τρισχιλίας Ἀθήνηθεν εἰς Μένδην ἢ Σκι-
ώνην καὶ ἐντεῦθεν εἰς Βόσπορον, ἐὰν δὲ βούλωνται, τῆς ἐπ' ἀριστε-
ρὰ μέχρι Βορυσθένους καὶ πάλιν Ἀθήναζε, ἐπὶ διακοσίαις εἰκο-
σι πέντε τὰς χιλίας, ἐὰν δὲ μετ' Ἀρκτοῦρον ἐκπλεύσωσιν ἐκ τοῦ
Πόντου ἐφ' Ἱερόν, ἐπὶ τριακοσίαις τὰς χιλίας, ἐπὶ οἴνου κερα-
μίοις Μενδαίοις τρισχιλίοις, ὃς πλεύσεται ἐκ Μένδης ἢ Σκιώνης
ἐν τῇ εἰκοσόρῳ[1]· ὑποτιθέασι δὲ ταῦτα οὐκ ὀφείλοντες ἐπὶ τούτοις
ἄλλῳ οὐδενὶ οὐδὲν ἀργύριον, οὐδ' ἐπιδανείσονται.

2ο. Μαρτυρία. » 422.

Ἐρασικλῆς μαρτυρεῖ κυβερνᾶν τὴν ναῦν ἣν Ὑβλήσιος ἐναυ-
κλήρει, καὶ εἰδέναι Ἀπολλόδωρον ἄγοντα ἐν τῷ πλοίῳ οἴνου
Μενδαίου κεράμια τετρακόσια πεντήκοντα καὶ οὐ πλείω· ἄλλο
δὲ μηδὲν ἀγώγιμον ἄγεσθαι ἐν τῷ πλοίῳ Ἀπολλόδωρον εἰς
τὸν Πόντον.

Ἱππίας Ἀθηνίππου Ἁλικαρνασσεὺς μαρτυρεῖ συμπλεῖν ἐν
τῇ Ὑβλησίου νηὶ διοπεύων τὴν ναῦν, καὶ εἰδέναι Ἀπολλόδωρον τὸν Φαση-
λίτην ἄγοντα ἐν τῷ πλοίῳ ἐκ Μένδης εἰς τὸν Πόντον οἴνου Μενδαίου κε-
ράμια τετρακόσια πεντήκοντα, ἄλλο δὲ μηδὲν φορτίον.

(1) ἣν Ὑβλήσιος ναυκληρεῖ· ὑποτιθέασι κτλ.

Μενδαῖος οἶνος.

38

Δημ. Πρὸς Λακρίτου Γ. Β' σ. 427.

35. ἐνθυμ. δ', ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθε πρὸς ὑ-
μᾶς αὐτούς, εἴ τινας ἑωράκατε ἢ ἀκηκόατε οἶνον
Ἀθήνηθεν εἰς τὸν Πόντον καθ' ἐμπορίαν εἰσαγα-
γόντας, ἄλλως τε καὶ Κῷον. πᾶν γὰρ δήπου τοὐναντί-
ον εἰς τὸν Πόντον ὁ οἶνος εἰσάγεται ἐκ τῶν τόπων
τῶν περὶ ἡμᾶς, ἐκ Πεπαρήθου καὶ Κῴου καὶ Θάσιος καὶ
Μενδαῖος καὶ ἐξ ἄλλων πόλεων παντοδαπός.

# Μενδαῖος οἶνος.

Δημ. Πρὸς Λακρίτον Τ. Β' σ. 927.

35. ἴστε δ' ὦ ἄνδρες δικασταὶ ἐπιστάμενοι ὑ-
μᾶς αὐτούς, ὅτι οἶνος κινοῦσθαί τε ἢ κεκόμισται οἶνον
Ἀθήναζε ἐκ τοῦ Πόντου κατ' ἐμπορίαν ἀγορα-
ζόντας, ἄλλως δὲ ἢ Κῷον. πᾶν γὰρ τοὐναντί-
ον εἰς τὸν Πόντον ὁ οἶνος εἰσάγεται ἐκ τῶν τόπων
τῶν περὶ ἡμᾶς, ἐκ Πεπαρήθου ἢ Κῴου ἢ Θάσιος καὶ
Μενδαῖος ἢ ἐξ ἄλλων πόλεων παντοδαπός.